**Ὕμνος 3**

**(ἐκδ. Grosdidier de Matons)**

Τῇ κυριακῇ τῆς δ΄ ἑβδομάδος τῶν νηστειῶν, κοντάκιον ᾀδόμενον εἰς τὴν θυσίαν Ἀβραάμ, φέρον ἀκροστιχίδα τήνδε·

εἰς τὸν Ἀβραὰμ Ῥωμανοῦ ὕμνος

πλ. α΄

**Προοίμιον**

Ὡς καθαρὰν θυσίαν καὶ ἄμωμον προσφορὰν
ἀναιμωτὶ ἐδέξω τὸν ἄκακον Ἰσαὰκ
ἐκ πατρὸς προσαγόμενον ὑπὲρ υἱῶν ἀγαπώντων σε·
τῆς γὰρ φιλίας θριαμβεύσας τὴν γνώμην,
τῆς ἀτεκνίας τὸν πρεσβύτην ἐρρύσω, φιλάνθρωπε,
ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν <ἡμῶν>.

(1) **Ε**ἰς ὄρος ἀναβαίνοντα σὲ τὸν πρεσβύτην ὁ νέος ἐγὼ
ζηλῶσαι θέλω καὶ ναρκοῦσί μου πόδες·
εἰ γὰρ καὶ τὸ πνεῦμα πρόθυμον, ἡ σὰρξ ἀσθενής·
ὦ ψυχή μου, θάρρησον θεωροῦσα
τὸν Ἀβραὰμ νῦν γῆρας ἀποθέμενον καὶ νεάζοντα·
οὐ ἔκαμνον πόδες, ἀλλ’ ἠνδρίζετο γνώμη·
ἠγνόει τὸν τόπον καὶ ἀπῄει τῷ τρόπῳ
ὁδηγοῦντος αὐτὸν τοῦ καλέσαντος,
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(2) **Ἰ**σχὺς οὖν ἦν ἡ πίστις σου, ὅθεν ὁ πόθος πολὺς ἦν ὁ σὸς
τοῦ ἐκτελέσαι τοῦ καλοῦντος τὴν βουλήν.
Τί δέ σοι ὁ καλῶν προσέταξεν ἀκούσωμεν·
«Λάβε παῖδα τὸν ἐκ τῶν σῶν λαγόνων
ὅνπερ ἐν γήρει ἔσχες παραμύθιον, καὶ σφάξον μοι.»
Ὢ πόσης ὑπῆρχε τούτῳ λύπης τὸ ῥῆμα·
οὐκ εἶπε γὰρ παῖδα καὶ ἠρκέσθη τῷ λόγῳ,

ἀλλὰ ἠρέθιζε σπλάγχνα γέροντος,
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(3) **Σ**κληρὸν μὲν τὸ πρόσταγμα· σὺ δὲ πρὸς τοῦτο, πρεσβύτα, ὀξύς·
τοῦ γὰρ παιδός σοι ποθεινότερος Θεός·
διὸ πρὸς τὸ ῥηθὲν ἀμφίβολος οὐ γέγονας.
Πῶς οὐκ εἶπας· «Διὰ τί με πατέρα
καὶ οὐ φονέα τέκνου προσηγόρευσας, ὦ δέσποτα;
Ὃ γίνομαι λέγε, ὃ γέγονα μὴ κάλει·
καιρὸν γὰρ ὀλίγον ὠνομάσθην γενέτης,
εἰς αἰῶνα δὲ σφαγεὺς γόνου κηρύττομαι·
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(4) **Τ**ί ἄρα οἱ ὁρῶντές με σφάττοντα τέκνον λογίσονται νῦν;
Μανέντα, οἴμοι, ἢ ἐκστάντα τῶν φρενῶν·
καὶ λῆρόν μου τὸ γῆρας δόξωσιν οἱ ἀκούοντες.
Πῶς χερσὶ δὲ ταῖς ἰδίαις ὀλέσω
οὗ τοῖς δακτύλοις ἤλπιζον κλεισθῆναί μου τὰ βλέφαρα;
Ὃν ἔλυσα σπαργάνων πῶς δεσμήσας φονεύσω;
Ὃν βλέπων σκιρτῶντα, σὲ εὐλόγουν τὸν δόντα·
οὗ γέγονα τροφεύς, σφαγεὺς οὐ γίνομαι,
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(5) **Ὅ**ταν μὲν τῷ κάλλει σου βλέψω, ὦ τέκνον, πληροῦμαι χαρᾶς·
ὅταν δὲ πάλιν τοῦ δεσπότου ἀκούσω,
ὁ γέλως μου εἰς πένθος τρέπεται καὶ δάκρυα.
Οἴμοι, σπλάγχνον, τὴν ψελλίζουσαν γλῶσσαν
ἄφωνον δείξει χεὶρ τοῦ σε γεννήσαντος ἡ σφάζουσα·
τὰ δὲ βλέφαρά σου οὐ καμμύσει ἡ Σάρρα·
τὰ ῥοδίζοντα χείλη νῦν ἀδόνητα δείξω
ὅτι πρόσταγμα τελῶ τοῦ δώσαντος,
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(6) **Ν**αρκῶσαν τὴν χεῖρά μου καὶ δεδοικῶσαν τὸ ξίφος κρατεῖν

τίς κραταιώσει καὶ διδάξει φονεύειν
οὐ μόσχους σου, οὓς ἔθος ἔσχηκεν, ἀλλὰ τέκνον μου;
Τίς ὠμὸν δὲ καὶ ἀνοίκτειρον δείξει
τὸν εὐσπλαγχνίας χάριν εἰσδεξάμενον τοὺς ἅπαντας;
Ὁ πρώην ἀγνώστους δεξάμενος καὶ θρέψας,
σὲ τὸν κληρονόμον σὸς πατὴρ πῶς ὀλέσω;
Τίς ἀκούσεται κἀμὲ οὐ φεύξεται;
Ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἐμῶν.

(7) **Ἀ**κούσει τοὺς λόγους σου πάντας <ἡ> Σάρρα, ὦ δέσποτά <μου>,
καὶ τὴν βουλήν σου ταύτην γνοῦσά μοι λέξει·
Εἰ αὐτὸς ὁ διδοὺς ἐλάμβανε, τί παρέσχηκε;
Σύ, πρεσβῦτα, τὸν ἐμὸν ἔα πρός με,
καὶ ὅταν θελήσῃ τοῦτον ὁ καλέσας σε, δηλώσῃ μοι·
ὁ πρώην δι’ ἀγγέλου τόκον τούτου σημάνας,
τὸν φόνον μοι αὖθις ὡς ἂν θέλῃ, δηλώσῃ·
οὐ πιστεύω σοι τὸ τέκνον, οὐ δώσω σοι,
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(8) **Β**ραχὺν καιρὸν ζήσουσα, τούτῳ συζήσω· μετὰ τὸ θανεῖν,
ἐὰν θελήσῃς. τοῦτο δρᾶσον ἐν αὐτῷ·
μὴ λείπῃ με καὶ λύπη κτείνῃ με, σοῦ αἰτέομαι.
Μόλις τούτου ἐπετύχομεν, ἄνερ,
καὶ παρ’ ἐλπίδας παῖδα ἐκ κοιλίας μου ἐκτησάμεθα·
εἰ οὖν πρώην τυχόντες ἀποτύχωμεν ἄρτι,
ἢ τάχα κυῆσαι, θηλαῖς θρέψαι ὀφείλω,
καὶ ἀκμάσαντα δοῦναι τῷ δώσαντι;
ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(9) **Ῥ**οπὴν ἐμοῦ ἀπόστηθι· τοῦτον ἀγκάλαις λαμβάνω ἐγὼ
πόνον γαστρός μου· κορεσθῆναι γὰρ ζητῶ·
εἰ χρῄζει θυσιῶν ὁ καλέσας σε, λάβῃ πρόβατον.
Οἴμοι, τέκνον Ἰσαάκ, εἰ κατίδω

σοῦ ἐπὶ γῆς <τὸ> αἷμα ἐκχυνόμενον ...  μὴ γένοιτο·
φονεύσει με πρώτην,  εἶθ’ οὕτως σε φονεύσει·
πρὸ σοῦ τὴν τεκοῦσαν,  μετ’ αὐτὴν σὲ τὸν τόκον·
μὴ κατίδω σου σφαγήν, καὶ ἀπόλωμαι·
ὅτι μόνος ἀγαθὸς  ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(10) **Ἀ**γγέλου σημάναντος  τόκον <ἐν γήρᾳ>,  ἐγέλασα πρίν,
καὶ νῦν τὸ ῥῆμα  ἰδοῦσα πρᾶγμα, ἐχάρην·
ἀλλ’ ἤδη ἡ χαρὰ εἰς δάκρυα  τάχα τρέπεται·
σύ μου φάος,  σὺ αὐγὴ ἐμῶν βλεφάρων·
σὲ ὥσπερ ἄστρον βλέπουσα λαμπρύνομαι,  ὦ τέκνον μου·
σὺ τῆς ἐμῆς κοιλίας  καρπὸς ὥριμος ὤφθης·
σὺ βότρυς περκάζων  ἀκμασάσης ἀμπέλου·
οὐ σβέσει σε πατήρ, οὐ τέμνει σε·
ὅτι μόνος ἀγαθὸς  ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(11) **Ἀ**κμάσας γενήσει μου  στήριγμα γήρους,  ὦ σπλάγχνον ἐμόν,
τὰ σὰ δὲ τέκνα  βακτηρία πολιᾶς·
κατίδω σῆς ὀσφύος ἔκγονα  καὶ οὕτω θνήξομαι·
σὺ δὲ κόρας  τὰς ἐμὰς ἀποκλείσεις,
σὺ σὺν τοῖς τέκνοις κόλποις παραπέμψεις με  τῶν πατέρων μου,
σὺ κλίνης μου πρῶτος  πορευόμενος κλαύσεις·
ἐγὼ δέ σου θνῆσιν  οὐδαμῶς μὴ θρηνήσω
ὀλετῆρα σὸν πατέρα ἀκούσασα·
ὅτι μόνος ἀγαθὸς  ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

(12) —**Μ**ὴ τουτοισὶ τοῖς ῥήμασι  γύναι, χρωμένη,  ὀργίσῃς Θεόν·
ἀλλότριόν τι  οὐκ αἰτεῖται παρ’ ἡμῶν·
ὃ πρώην γὰρ αὐτὸς δεδώρηται,  τοῦτο λήψεται.
Μὴ σπιλώσῃς  τὸ ὁλοκαύτωμα θρήνοις
μηδὲ δακρύσῃς· μῶμον ἐπιθήσεις γὰρ  τῇ θυσίᾳ μου·
Θεὸς αὐτὸν θέλει,  καὶ τίς τοῦτον ἐπέχει;
Καὶ κόλποις σοῖς ὄντα  θανατῶσαι ἰσχύει·

τὴν οὖν πρόθεσιν δεῖξόν σου πέμψασα,
ὅτι μόνος ἀγαθὸς   ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.
(13) **Ῥ**αντίσω τοῖς δάκρυσι   πᾶσαν τὴν γαῖαν,   καὶ σὺ σὺν ἐμοί,
ἀλλ᾽ οὖν ἐκ τούτου   κέρδος ἡμῖν οὐκ ἔσται·
ὅταν γάρ τι Θεὸς βεβούλευται,   τίς ἀνθίσταται;
Ἤ, δοκεῖς σύ,   μόνος σὸς πέλει γόνος;
Τέκνον ἐμὸν δὲ οὗτος οὐχ ὑπάρχει νῦν   ὃν ἐγέννησα;
«Σπορεὺς αὐτοῦ πέλεις   καὶ σφαγεὺς τούτου μέλλεις·»
Ὁ τοῦτο προστάξας,   γύναι, πάντων δεσπόζει,
δῶρον εὔκαιρον ἡμῶν ἐξαιτήσας με,
ὅτι μόνος ἀγαθὸς   ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.»
(14) **Ὡ**ς ἤκουσε τὰ ῥήματα   τοῦ ὁμοζύγου,   <ἡ> Σάρρα φησίν·
«Εἰ εἰς ζωήν σε   θέλει, ζῆσαι προστάξει·
ἀθάνατος ὑπάρχων Κύριος,   οὐ μὴ κτείνει σε·
νῦν αὐχήσω,   σὲ προσάξασα δῶρον
ἐκ κοιλιᾶς μου τῷ δωρησαμένῳ σοι   μακαρίζομαι.
Πορεύου οὖν, τέκνον,   καὶ γίνου Θεῷ θῦμα,
σὺν τῷ σῷ γενέτῃ,   φονευτῇ δέ σου μᾶλλον·
πιστεύω δέ, γονεὺς σφαγεὺς οὐ γίνεται,
ὅτι μόνος ἀγαθὸς   ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.
(15) **Μ**ητέρα λιμπάνων με,   εὕρῃς πατέρα   τὸν πάντων Θεόν·
αὐτὸς σφαγέντα   ἀναδείξει μοι ζῶντα·
εἰ καὶ μὴ τῷ παρόντι, δείξει μοι   εἰ τῷ μέλλοντι·
ἄσπασαί με,   Ἰσαάκ, τὴν τεκοῦσαν
καὶ τῶν ὠδίνων μήπω ἀπολαύσασαν,   καὶ ἀποτρέχετε.»
Τοιαῦτα ἦν ἄρα   ἅπερ ἔφη Σάρρα·
ὁ πρέσβυς δὲ πάντως   εἶπεν ἄλλ᾽ ὑπὲρ ταῦτα,
ἀλλ᾽ οὐκ ἔστερξαν ὑπὲρ <τὸν> Κύριον,
ὅτι μόνος ἀγαθὸς   ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.
(16) **Α**ὐτὸς ὁ γεννήσας γὰρ   σχίδακας τέκνῳ   ἐπέθηκεν,

καὶ ὤμοις φέρει οἷς ἐτίθεντο ὁ παῖς·
ἐνταῦθα πᾶς πιστὸς νοείτω μοι τὸ μυστήριον.
Ἤλυθαν δὲ οὗπερ ἦσαν κληθέντες,
καὶ ὡς προβλέπων ἔφησε τὰ μέλλοντα ὁ πιστότατος,
«Καθίσατε», λέγων τοῖς συνοῦσιν, «ἐνταῦθα·
ἐγὼ δὲ σὺν τέκνῳ πορευθεὶς ἀναστρέψω.»
Καὶ τὰ ῥήματα ἐφάνη πράγματα,
<ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.>
(17) **Ν**ευρώσας ναρκήσαντας πόδας τῇ πίστει καὶ τὴν δεξιὰν
ὁπλίσας ξίφει, πρῶτον εἶχεν Ἰσαάκ,
ἀλλ’ εὗρε πειρασμὸν τὰ ῥήματα τοῦ παιδός· φησίν·
«Φράσον, πάτερ, τίς ὁ σφάττεσθαι μέλλων;
Ἔχω τὰ ξύλα, πῦρ σὺ καὶ τὴν μάχαιραν· ποῦ τὸ πρόβατον;»
Ὦ σπλάγχνον γενέτου· πρὸς τοὺς λόγους τοῦ τέκνου
τίς τότε ὑπάρχων ἀπηνὴς οὐκ ἐκάμφθη;
Καὶ οὐκ ἔκαμψε λαλῶν, ἀλλ’ ἤγγρισεν,
ὅτι μόνος <ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.>
(18) «**Ὁ** πρώην καλέσας με ὄψεται, τέκνον, εἰ θέλει σφαγήν·
ἡμεῖς δὲ τούτῳ ὑπουργήσωμεν», φησίν.
«Ὦ πάτερ, κατ’ ἐμοῦ τὴν μάχαιραν ἠκόνησας;
Βλέπω τύμβον τὸν βωμόν, ὦ γενέτα·
σὲ δὲ δεσμοῦντα ἅμα καὶ φονεύοντα ἐνοπτρίζομαι·
εἰ τοίνυν ὃ βλέπω ἀληθῶς ὁρῶ, λέγε,
μὴ ἄκοντα σφάξῃς ἵν’ εὐπρόσδεκτον εὕρῃς
τὴν θυσίαν σου, ἐμὲ τὸ τέκνον σου·
ὅτι μόνος <ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.»>
(19) **Υ**ἱοῦ μὲν τὰ ῥήματα τότε παρίδε πιστὸς Ἀβραάμ,
καὶ τῆς θυσίας ἦν ἐργάτης ἰσχυρός,
καὶ πόδας σὺν χερσὶν ἐδέσμησεν ὃν ἐγέννησε,
«Πρῶτον», λέγων, «δήσω, εἶτα φονεύσω,

μήποτε τούτου σκίρτημα κωλύσῃ μου τὸ ὅρμημα.»
Χειρὶ λαβὼν ξίφος εἰς σφαγήν, ἐπεσχέθη,
οὐ τέκνου σκιρτῶντος, τοῦ Θεοῦ δὲ καλοῦντος
καὶ σημαίνοντος αὐτοῦ τὰ μέλλοντα,
<ὅτι μόνος ἀγαθὸς ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.>
(20) **Ὑ**ψόθεν ἐπέβλεψεν ὁ ἐπιβλέπων ἀβύσσους Θεός,
καὶ τῷ δικαίῳ ἀνεβόησε φωνήν·
«Ἀβραάμ, Ἀβραάμ, πιστότατε, στεῖλον χεῖρά σου·
γνῶναι θέλων σὲ ὁ μὴ ἀγνοήσας
σὲ πρὸ τοῦ πλάσαι, † τὴν πίστιν σου νῦν εὗρον ἥνπερ μέλλουσι
βλέπειν οἱ τῆς ἀληθείας θερμοὶ ἐρασταί μου
ἐπ’ ἐσχάτων τῶν αἰώνων, † ὅτι μέλλει ὁ υἱός μου
εἰς <τὸ> ὄνομα ἐμὸν δοξάζεσθαι,
ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν ὑμῶν.
(21) **Μ**ὴ κτείνῃς τὸν παῖδά σου· νῦν γάρ σε ἔγνων φοβούμενόν με·
τοῦ ὑϊοῦ σου οὐκ ἐφείσω δι’ ἐμέ,
ὅντινα λαβὼν ἀπότρεχε καθὼς πρόειπας.»
Ταῦτ’ ἀκούων Ἀβραὰμ ἔφη τότε·
«Μή τινα μῶμον εὗρες ἐν θυσίᾳ μου καὶ ἐπέσχες με;
Μή τι παρερρύη ἐν λόγῳ ἢ ἐν ἔργῳ;
† ἢ δόλος ἐν τῷ στόματί μου; † Ὡς καρδίας ἐτάζων,
σὺ καθάρισον καὶ σφάξαι πρόσταξον,
ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.
(22) —**Ν**ῦν στεῖλον τὴν χεῖρά σου· εὗρον ὡς θέλω σὴν πίστιν ἁγνήν,
διὸ καὶ ἐν σοὶ προσκιάζω τὰ ἐμά·
ἐμὸν γὰρ εἶ σαφῶς ἐκτύπωμα, ναί, δίκαιε·
θέλεις γνῶναι ἐκ τῶν σῶν τὰ μετὰ σέ;
Τούτου γὰρ χάριν ἔνθα σε ἀνήγαγον, <τοῦ> δεῖξαί σοι.
Ὥσπερ οὖν οὐκ ἐφείσω δι’ ἐμὲ τοῦ υἱοῦ σου,
κἀγὼ διὰ πάντας οὐ φείσομαι τοῦ υἱοῦ μου·

ὑπὲρ κόσμου δὲ σφαγῆναι δίδωμι,
ὁ δοτὴρ τῶν ἀγαθῶν <καὶ σωτὴρ τῶν ψυχῶν ὑμῶν.>

(23) **Ο**ὕτως δ’ ὡς ἐβάσταξε ξύλα τοῖς ὤμοις ὁ σὸς Ἰσαάκ,
ἐπ’ ὤμων φέρει ὁ ἐμὸς υἱὸς τὸν σταυρόν·
ὁ πόθος ὁ πολύς σοι ἔδειξε καὶ τὰ μέλλοντα.
Βλέψον ἄρτι καὶ κριὸν τὸν ἐν ξύλῳ·
πόθεν κρατεῖται βλέπων καταμάνθανε τὸ μυστήριον·
τοῖς κέρασιν τοῦτον τὰ δεσμὰ περιέχει,
τὰ κέρατα χεῖρας τοῦ υἱοῦ μου σημαίνει·
καὶ σφάξον μοι, καὶ σὸν υἱὸν φυλάττω σοι,
ὁ δοτὴρ τῶν ἀγαθῶν <καὶ σωτὴρ τῶν ψυχῶν ὑμῶν.»>

(24) **Σ**φαγὴν οὐ δεχόμενον βλέπουσα Σάρρα σὺν τῷ Ἀβραάμ,
χορεύει πάλιν δεξαμένη Ἰσαάκ·
«Ὁ δείξας σε ἐμοί, ὦ τέκνον μου, λάβῃ πνεῦμά μου.»
Ταύτην ἡμῖν τὴν χαρὰν σὺ παράσχου,
ὁ ἐπὶ ξύλου χεῖρας ὥσπερ κέρατα δεσμηθεὶς δι’ ἡμᾶς·
ἡμῶν ἱκεσίας κενὰς μὴ ἀποστρέψῃς,
δι’ οὓς ἐσταυρώθης ἐν θυμῷ σου μὴ κτείνῃς·
τούτων πρέσβευε καὶ σύ, πάτερ, τυχεῖν ἡμᾶς,
ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

*

**Η θυσία του Ισαάκ κατά την αφήγηση της Γενέσεως (κεφ. 22):**

Καὶ ἐγένετο μετὰ τὰ ρήματα ταῦτα ὁ Θεός ἐπείρασε τὸν ῾Αβραὰμ καὶ εἶπεν αὐτῷ· ῾Αβραάμ, ῾Αβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. 2 καὶ εἶπε· λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν ᾿Ισαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκον αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ᾿ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. 3 ἀναστὰς δὲ ῾Αβραὰμ τὸ πρωΐ ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ᾿ ἑαυτοῦ δύο παῖδας καὶ ᾿Ισαὰκ τὸν υἱὸν αὐτοῦ καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ. 4 καὶ ἀναβλέψας ῾Αβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν. 5 καὶ εἶπεν ῾Αβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς. 6 ἔλαβε δὲ ῾Αβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν ᾿Ισαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ

καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. 7 εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ. ὁ δὲ εἶπε· τί ἐστι, τέκνον; εἶπε δέ· ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; 8 εἶπε δὲ Ἀβραάμ· ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα, 9 ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα, καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. 10 καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. 11 καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν· Ἀβραάμ, Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. 12 καὶ εἶπε· μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεὸν καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ. 13 καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἀβραὰμ καὶ ἔλαβε τὸν κριὸν καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. 14 καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν, ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει Κύριος ὤφθη.